μοι τὴν τοῦ πάθους δυσχέρειαν. ἀλλ' ἔστι καὶ ἰατρὸν μηδὲν ἐξανύειν καιρίως ἐπιπάσσοντα τῷ πάθει τὰ φάρμακα, ὁπηνίκα τὸ πάθος ἀνίατον, καὶ λόγον ὁμοίως μένειν ἄπρακτον, κἂν ἦ μάλα, δραστήριος. Ἐμὲ γὰρ οὐδ' ἂν Ἑρμῆς αὐτὸς ὁ λόγων πατὴρ πιστευόμενος, τοῦ πάθους μεταῤῥυθμίσειεν. οὕτως ἐγενόμην τῇ συμφορᾷ ὑποβρύχιος. καὶ πολλάκις τῆς λύπης ἀναθεῖναι βουλόμενος, τὴν μνήμην ἔχω κεντοῦσαν οἵων ἐστέρημαι. καὶ με ἀντιπεριάγει τὸ ἐναποτεθὲν προχειρίζουσα τοῦ παιδὸς ἴνδαλμα· ὃν ἐγὼ μᾶλλον ἡδόμην ὁρῶν, ἢ τὸν ἥλιον. Φεῦ τῶν ἐμῶν ὀμμάτων τὴν λαμπηδόνα ἀφήρημαι· τὸ ζῆν μοι λοιπὸν, οὐδ' ὡς ζῆν ὅλως νομίζεται. Ὦ τραγικοῦ δράματος. ὦ δαίμονος ἐντὸς ἀλάστορος. Ἀλλὰ γὰρ περαιτέρω γράφειν οὐκ ἐπιτρέπει τὰ δάκρυα.

## Ἄλλο.

Οὐ μετρίως ὁμολογῶ διετέθην περὶ τὴν ἀλόγως ἰστρώμην κατ' ἐμοῦ ἐνεχθεῖσαν ψῆφον. καὶ μοι ἐδόκει ἡ ὕβρις τῶν ἀνυποίστων, μάλιστα ὑπὸ τοιούτων. οἵγε καί τινα ἔχειν τοῦ δικαίου λόγον πιστεύονται παρὰ τοῖς πολλοῖς. κἂν ποῤῥωτέρω τὸ πρᾶγμα προήχθη, καὶ μείζω συνέβη τούτων καὶ χείρω, εἰ μὴ τὰ παρὰ τῆς ἱερᾶς σου συνέσεως γράμματα προέφθασεν ἀποδοθέντα μοι. ἅπερ οἷά τινα παιώνεια φάρμακα, τὸ τραχύ μου τῆς ἀθυμίας καταλεάναντα, ἀπὸ τῆς ἀμετρίας τοῦ δυσφορεῖν, ἐπὶ τὸ γαληνότερον τὴν ψυχήν μοι κατέστησεν. ἔμοιγε γὰρ οὐκ ἀνεκτὸν ὅλως ἐδόκει, ὃν ὡς εὐεργέτην προσῆκε τιμᾶσθαι, ὡς ἀδικοῦντα καταδικάζεσθαι. καὶ τὴν μὲν ἐπιείκειαν, ἐν ἄγης



Ε.Γ.Δ της Κ.τ.Ε. ΙΩΑΝΝΙΝΑ 2006

τάττεσθαι τάξει, τῇ δὲ κολακείᾳ, τὰ τῆς εὐσεβείας ἀπονέμειν πρεσβεῖα. ἄλλως τε ϗ κατὰ τὸν Ἰσοκράτην, εὐλαβητέον ἥγημαι τὰς διαβολάς. ϗ γὰρ ὡς ἐκεῖνος φησὶν, οὐ πάντες εἰσὶν ἀληθείας θηρευταί, δόξῃ δὲ μᾶλλον ἀγόμενοι τὰ πολλὰ κρίνουσιν. Ἀλλὰ σοὶ μὲν χάρις, ὅτι μοι τοῖς γράμμασι τὸ λυποῦν ὑπεκούφισας· ἐκεῖνοι δ' εὖ οἶδα ὑφέξουσι πάντως τὴν δίκην, ὑπὲρ ὧν ἀδίκως κατ' ἐμοῦ ἐψηφίσαντο. ὥσπερ ϗ αὐτὸς ἔφησθα παραινῶν τὰ εἰκότα. Ἀλλὰ ϗ μετ' οὐ πολὺ τὰς σκιὰς παρελθεῖν. ϗ τὰ ἐσκευωρημένα τούτοις ἐξελεγχθέντα, τὴν ἐπ' ἐμοὶ συκοφαντίαν δημοσιευθήσεσθαι. κἂν γὰρ πρὸς καιρὸν ἐπιπροσθῇ τῇ ἀληθείᾳ τὸ ψεῦδος, οὐ μᾶλλον ἢ τῷ ἡλίῳ νεφέλη. ἀλλ' ἀναθεῖ πάλιν, ϗ διάδηλος γίνεται, οὐχ' ἧττον, ἢ ὡς φησὶν ἡ κοινὴ παροιμία, ἐν ὑδατώδει φύσει τὸ ἔλαιον.

## Περὶ Ἀποτρεπτικοῦ Χαρακτῆρος.

Εἶχεν ἂν ἀποχρώντως ϗ πρὸς ἀποτροπὴν, ὅσα περὶ προτροπῆς ἀνωτέρω εἴρηται, τῷ προκειμένῳ τοῦ λόγου σκοπῷ. ἡ αὐτὴ γὰρ ἐστὶ προτρεπτικοῦ χαρακτῆρος μέθοδος. πλὴν ὅτι ἐκ τῶν ἐναντίων λαμβάνεται. τὰ δὲ ἐναντία τῷ εἰδότι ὧν εἰσὶν ἐναντία, πάντως ἀρίδηλα. πρὸς σαφεστέραν μέντοι διδασκαλίαν, ἔδοξέ τινα ϗ περὶ ἀποτροπῆς ἐν μέρει εἰπεῖν. Εἰ μὲν οὖν ἡ προτροπὴ παράκλησίς ἐστιν ἐπὶ προαιρέσεις, ἢ λόγους, ἢ πράξεις, δῆλον, ὅτι ϗ ἀποτροπὴ ἔσται ἡ ἀπὸ τούτων διακώλυσις. ϗ ἀποτρεπτικὸς χαρακτὴρ ὁ ἀπὸ τῶν αὐτῶν ἀναστέλλων. Ὅθεν ϗ ὕλη ἀμφοῖν, πράξεις, λόγοι, ϗ προαιρέσεις. ἐκείνῳ μὲν ἢ δίκαια,

καια, ξυμφέροντα, ϗ τὰ ἑξῆς· τούτῳ δέ, τοὐναντίον, ἢ ἄδικα, ἀσύμφορα, αἰσχρά, δυσχερῆ. ϗ τὰ τοιαῦτα. Εὔνοια δὲ πρὸς τοὺς ἀκροωμένους, ϗ ἐμπειρία τῶν περὶ ὧν ὁ λόγος, ἀγαθὴ σύμβουλος παντὶ λόγῳ, προτρέποντι δὲ ἢ ἀποτρέποντι, ϗ ἀναγκαία. ἃς ἀποτρέψοντες εἴγε ἀμφιβάλλωνται, τὴν ἀρχὴν κατασκευάσομεν. εἶτ' ἀφ' ὧν ἡ ἀποτροπὴ ταῦτα ἐκθέμενοι, ἐπὶ τὰς πίστεις χωρήσωμεν. Καὶ πρῶτον ἀπὸ τοῦ προσώπου, πρὸς ὃ ὁ λόγος, τὰς ἐκείνου ἀρετὰς ϗ πράξεις σπουδαίας ἐπαινοῦντες, τήν τε εὐγένειαν, σοφίαν, ἀξίαν, ϗ εἴτι τοιοῦτον ὑπομιμνήσκοντες, οἷς μήτι πράξῃ ἀνάξιον, πάσῃ φυλακῇ προσεκτέον λέγοντες. Εἶτα ϗ ἀπὸ τῶν προσώπων εἰ τύχοι ὑπὲρ ὧν ἡ ἀποτροπὴ, τὴν ἀκεραιότητα, τὴν φιλίαν, τὴν χάριν, τὴν ἔνδειαν, τὴν θλίψιν, τὴν ταλαιπωρίαν, εἴτι τοιοῦτον τύχοι προσὸν ἐκείνοις λαμπρῶς διηγούμενοι, ϗ αὐξήσωμεν. εἰδέτις ϗ εἴη καθ' οὗ τὴν ἀποτροπὴν ποιούμεθα, ἀντίξους, τούτου ὠμότητα, μῖσος, κακεντρέχειαν, ϗ εἴτι παραπλήσιον ἐνδέχεται, πιθανῶς κατηγορήσωμεν. κᾆτα ἀπὸ τῶν μελλόντων, ἐλπίδος φόβου· φήμην ἀγαθὴν ὑπισχνούμενοι πεισθέντι, τιμὴν, ἔπαινον, πλοῦτον, ἡδονὰς, βίον γαληνιαῖον, ϗ ὅλως τὸ συμφέρον· μὴ δεξαμένῳ δὲ τὴν παραίνεσιν, ἀτιμίαν, ἔνδειαν, πόνους, ἐνοχλήσεις, ϗ ὅλως τὸ ἀσύμφορον, ἀπό τε προσδοκίας τῶν φίλων, ϗ δυσνοούντων ἐλπίδος, ὡς ἀνωτέρω εἴρηται. Ταῦτα δὲ ϗ αὐξήσομεν παραδείγμασιν, ἐκ πάντων μὲν, μάλιστα δὲ τῶν οἰκείων, ϗ οἷς ἐκεῖνος τυγχάνει ἐφάμιλλος. ἔκ τε τοῦ ὁμοίου, ϗ ἐναντίου, ϗ ἐνδόξου, ϗ τἄλλα ὡς ἐν τῷ προτρεπτικῷ εἴρηται.

Ὑπέ-

## Ὑπόδειγμα.

Εἰ μὴ περὶ πολλοῦ τὰ σὰ ἐποιούμην, ἢ φθόνου πάντως, ἢ εὐηθείας γραφὴν ἂν ἔφυγον παρὰ τοῖς εἰδόσι τὰ καθ' ἡμᾶς, τοῦτο μὲν, τῶν ἀμοιβαίων εὐεργετημάτων ἕνεκα, καὶ τῆς ἀνέκαθεν συνηθείας, ἥπερ ἡμᾶς σφοδρᾷ διαθέσει συνῆψε· τὸ δὲ καὶ μᾶλλον, ὅτι κοινὰ οἴδασιν οἱ πολλοὶ τὰ ἡμέτερα, καὶ τὰ τοῦ ἑτέρου εὖ τε καὶ ὡς ἑτέρως ἔχοντα, περιάπτουσιν ὡς εἰκὸς τῷ ἑτέρῳ. ὅθεν εἰ καί σοι τολμηρὸς δόξω καὶ μεμπτέος τῆς παῤῥησίας. λέγει μὲν περὶ σοῦ παρ' ἡμῖν ἡ φήμη, μᾶλλον δὲ συχνοὶ τῶν αὐτόθεν ἀφικνουμένων, σὲ μὲν τῇ σχολῇ χαίρειν φράσαντα, ἐπὶ τὸ πρεσβυτέρου ὅλως κεχηνέναι ἀξίωμα· ὅπερ οὐκ ἂν εἶχον πιστεύειν, εἰ μὴ παρὰ τὸ πλῆθος τῶν ἀγγελλόντων εἶχε τὸ ἀξιόπιστον. Ἔστι γὰρ τῷ ὄντι καὶ συνέσει τῇ σῇ καὶ δόξῃ ἀνάξιον, τοῖς τε θείοις νόμοις ἀντιβαῖνον, καὶ οὐδὲ παρὰ τοῖς πολλοῖς ἐπαινούμενον, καὶ μάλιστα θρόνος τοιοῦτος, ὃν ἐπιβαλέσθαι σε λέγεται. ὃς πρὸς τῷ κομιδῇ ἐστερῆσθαι ὅσα τῷ θρόνῳ καθήκουσι, καὶ οἱ ὑπ' αὐτὸν τελοῦντες, ἅπαξ καὶ δὶς ἀνιαθέντες παρ' ἐπισκόπων, ὁμοίως πρὸς ἅπαντας ἀπεχθῶς διάκεινται. τὸ λειτούργημα ἐστὶ μὲν καὶ παρ' ἑαυτοῦ θεῖον. ἀλλὰ τόγε νῦν εἶναι, οἷς μικρόν τι νοὸς μέτεστι, κἂν τοῖς ἐχθροῖς εὔξαιντο. ἐπεὶ θεῖα, καὶ ἀνθρώπινα μονονουχὶ φωνὴν ἀφιᾶσι, κωλύοντά τε καὶ ἀναστέλλοντα ἕκαστον τῆς ἐν τῷ παρόντι ἐκκλησιαστικῆς διοικήσεως, ἵνα μὴ λέγω δημοπρεποῦς τυραννίδος. πόσον οὖν οἴει παρὰ τοῖς πολλοῖς ὀφλήσομεν γέλωτα, εἴπερ ὧν τοὺς ἄλλους λόγοις δεῦρ' ἀεὶ παραινοῦμεν ἀπέχεσθαι, τούτοις αὐτοὶ

νῦν

νῦν ὀφθείημεν ἁλισκόμενοι ἔργοις; καὶ πῶς οὐ μανία σαφὴς προὔπλοις ἑαυτὸν δεινοῖς ἐμβαλεῖν, καὶ ταῦτα μηδεμιᾶς οὔσης κατεπειγούσης ἀνάγκης, ἢ ὠφελείας ἐλπίδος; ὥσπερ γὰρ εὔηθες ἀρχὴν ἀποποιεῖσθαι τὴν ἐπωφελῆ, καὶ τιμῆς πρόξενον, οὕτω διώκειν προπετὲς τὴν ἐπιβλαβῆ, καὶ ἀτιμίας παραίτιον. καὶ τὸ μὲν, τῶν ἄγαν τολμηρῶν, τὸ δὲ, τῶν λίαν δειλῶν, καὶ ἀμφότερα τοῦ κανόνος ἐκπίπτοντα. Εἶτα πῶς οὐ δεινὸν, ὀνόματος χρηστοῦ προεδρίας τὰς μεγίστας ἀλλάξασθαι τῶν συμφορῶν; ἢ οὐ πρόδηλον πᾶσι, μηδὲ τὸν συνετώτατον ἢ φιλοπονώτατον, ὁπωσοῦν δύνασθαι τῶν πραγμάτων ἐλθεῖν εἰς ὄνησιν, ὡς νῦν ἔχει τὰ τῆς ἐκκλησίας; τί γὰρ ἕξει λόγος ἔνθα κρατεῖ λόχος; ἐπιστήμης γὰρ τὰ νῦν οὐ δὲν δέον, ἀλλ' ἰσχύος, ἀλλὰ χρημάτων, ἀλλὰ δόλων καὶ δωροδοκίας. ὧν εἰ καὶ σμικρά σοι μέτεστιν, ἀλλὰ τοῦ κρίνεσθαι κατὰ ταῦτα μεθέξεις οὐ μετρίως· πρὸς δὲ τούτοις, τοῖς μὲν φίλοις οὐ τὴν τυχοῦσαν μνηστεύσεις λύπην, ὥσπερ καὶ τοῖς ἐχθροῖς οὐ μετρίαν τὴν ἡδονήν. οἱ τί οὐ ποιοῦσιν ἢ λέγουσιν, ἐφ' ᾧ σε ἐνειλημμένον ἴδωσιν ὄχλῳ θορύβων τῶν ἐκκλησιαστικῶν, ὥσπερ ἐν πίττῃ φασὶ τὸν μῦν; Ἀλλ' εἰ ταύτην ἀποποιήσαιο τὴν ἐγχείρησιν, ἀπαλλάξεις εὖ οἶδα τούτων ἁπάντων σαυτόν. κἂν τὸ χρεὼν ἐπέλθῃ, ἵνα μὴ τ' ἄλλα λέγω, τῶν ἐκεῖσε κριτηρίων, ἵνα μὴ εἴπω κολαστηρίων, οὐ δείσεις τὰς τιμωρίας, αἳ τοὺς τοιούτους ἐκδέχονται. καὶ γὰρ ὁμοίως οὐκ ἀνέγκλητον, τόν τε μόλις σωζόμενον ἐν λιμένι διὰ τὴν τοῦ χειμῶνος τραχύτητα, ὅλοις ἄραντα τοῖς ἱστίοις, μεγάλα πελάγη κατατολμᾶν· καὶ τὸν μόλις καθ' ἑαυτὸν ἐφ' ἡσυχίας φιλοσοφεῖν δυνάμενον, ἄλλων ἐπιχειρεῖν προστασίας. δι' ἧς καθορᾷ ἑαυτὸν σὺν τοῖς ἄλλοις

ἀπολέσονται. εἰ γὰρ τῷ ἠδικηκότι, κἂν μὴ εἰδότι, ὡς καὶ εἰδότι ἡ δίκη ἀπόκειται, τί χρὴ λογίσασθαι τῷ καὶ εἰδότι; ἤπου πικρὰ τὰ ἐπιτίμια, καὶ ὅσα τοῖς δι' ἀνεπιστασίαν ἐξολισθαίνουσιν ὀφείλεται. ἔστι γὰρ οὗ τῶν λογίων φησὶν ὁ Θεὸς πρὸς τοὺς ποιμένας. Εἴπερ ὁ ἄνομος μὴ ἀποστραφῇ τῆς ὁδοῦ αὐτοῦ τῆς πονηρᾶς, τὸ αἷμα αὐτοῦ ἐκ τῶν χειρῶν ὑμῶν ζητήσω. σοὶ δὲ πῶς ἔσται ἀποστρέψαι τὸν ἄνομον τῆς πονηρᾶς ὁδοῦ, ὅλως ἐν ἀνομίαις καλινδουμένῳ; οἷα δήπου τοὺς νῦν ἐπισκόπους παρὰ πᾶσιν ὁμολογεῖται; εἰ μὴ εἴγε οἷόν τε τὸ τῆς παροιμίας, ἄλλους θεραπεύειν τοὺς ἰδίοις βρύοντας ἕλκεσι. τίνα γὰρ ἂν παῤῥησίαν ἕξει πρὸς Θεὸν διαβὰς ὅλου δήμου προσεύξασθαι, ὃς οἰκείων ἕνεκα πλημμελημάτων δεῖται γενέσθαι δημαίτητος; οὐδ' ἂν ἐκεῖνο φαίης, πᾶσα ἀνάγκη ἐπίσκοπον ἐφιστάναι τῇ ἐκκλησίᾳ. οὐκ ἐπιλείψουσι τῷ Θεῷ στρατιῶται. μελήσει πάντως προνοίᾳ, οἷς μέλει προνοίας. ἀλλ' οὐδ' ὅτι καλὸν ἡ ἐπισκοπὴ, παρὰ τοῦτο καὶ τὸν τυχόντα τρόπον ταύτης ἕξεσιν ἀντιποιεῖσθαι. τὸ γὰρ καλὸν οὐκ ἔστι καλὸν, κατὰ τὸν εἰπόντα, εἰ μὴ καλῶς γένηται. ἐῶ λέγειν ὅτι σου τοὺς μακροὺς πόνους ἐν τῇ περὶ φιλοσοφίαν σχολῇ μάτην ἀποδείξεις καταβεβλημένους. οὐδὲν γὰρ ἄλλο ἀρχαὶ καὶ προεδρίαι, ἢ ἀχλὺς, καὶ βαθὺ σκότος πρὸς τὴν τῆς ἀληθείας κατάληψιν. καὶ ὅρα μὴ ταυτὰ πάθῃς τῷ Αἰσωπείῳ κυνὶ, ὃς ἀντὶ τῆς σκιᾶς τὸ ἀληθινὸν ἀπώλεσε βρῶμα.

*Τύποι τῶν ἀναφερομένων εἰς τὸ δικανικὸν γένος.*

## Περὶ Κατηγορικοῦ.

Κατηγορία μὲν ὡς Ἀριστοτέλης ὡρίσατο, ἁμαρτημάτων ἐστὶν ἢ ἀδικημάτων ἐξάγγελσις. ὅθεν

καὶ

ΙΩΑΝΝΙΝΑ 2006

ϗ κατηγορικὸς τύπος, ὁ τούτων αὐτῶν ἐξαγγελτικὸς ἂν εἴη. ἀμφότερα δὲ τά τε ἀδικήματα, ϗ τὰ ἁμαρτήματα, περὶ πράξεις, λόγους τε ϗ προαιρέσεις συνέστηκεν. Ἀλλ᾽ ὅταν μὲν ἐπὶ πονηρίᾳ τινὰ ἐγκαλοῦμεν, ἄδικα ταῦτα, ϗ τοῖς κειμένοις ἀντιβαίνοντα νόμοις ἀποδεικτέον· Ἐπειδὰν δὲ ἐπὶ ἀβελτηρίᾳ, ϗ αἰσχρά, ϗ ἀηδῆ, ϗ ἀσύμφορα, ϗ τὰ παραπλήσια· τηνικαῦτα δὲ ὁ χαρακτὴρ πρὸς τὸν ψεκτικὸν ἀπονεύσει. Ἡ τοίνυν πρὸς φίλους κατηγορία ὑφειμένη τε εἶναι βούλεται ϗ ἀμβλεῖα, τὸ μὲν αὐστηρὸν παραιτουμένη τῶν λόγων, ϗ ἐναγώνιον, πρὸς δὲ τὸ μεμπτικώτερον ἀποκλίνουσα. ὅθεν αὐτὴν κατασκευάσαις, οὐχ ὅπως τῷ ἀδίκῳ ϗ παρανόμῳ κεφαλαίῳ, ἀλλὰ ϗ τῷ ἀπρεπεῖ, ϗ ἀσυμφόρῳ ϗ τοῖς ὁμοίοις.

Ἀσχάλλοντες μὲν οὖν τῆς κατηγορίας ἀρξώμεθα, ἐκείναις κεχρημένοι ταῖς φωναῖς, αἷς δῆγμα ψυχῆς ἐμφανὲς εἴωθε γίγνεσθαι. τούτοις ἐξ ὑπογυίου τὸ πλημμεληθὲν τῷ φίλῳ ἐπισυνάψωμεν, δεικνῦντες ἀπᾷδον τῇ τε κοινῇ φύσει ϗ τοῖς ἀκαύτων δόγμασιν ἀντικαθιστάμενον, ϗ φιλίας θεσμὸν ἀναιροῦν, τὰ μὲν ἀπὸ τοῦ πράγματος, τὰ δὲ ἀπὸ τοῦ προσώπου, τουτέστι καθ᾽ οὗ ἡ κατηγορία. ὅτι οὐ προσῆκον ἦν, οὔτε πρὸς ἐκεῖνον τοιούτου γε ὄντος, ϗ οὕτως ἡμῖν ἔχοντος. Φιλίας δὲ χάριτας, εἰ τύχοι ϗ ὑποσχέσεις τὰς πρότερον, ἢ ϗ πατρῴας ὑπομνήσωμεν, ϗ ὡς ψευδόμενον ταύτας καταιτιασώμεθα· ϗ μάλιστα ὅτι ἑκὼν ϗ ἐκ προνοίας. Τὰ δὲ πρὸς ἡμῶν αὐτῶν, ὅτι οὐδὲν οὐδαμῶς ἐσμὲν ἐκείνῳ δεινὸν εἰργασμένοι· ἀλλὰ ϗ τὰ ἐκείνου περὶ πολλοῦ ποιούμεθα, ϗ δεῦρ᾽ ἀεὶ ἐξαιρέτῳ φιλίᾳ γεραίρομεν. Εἶτα ϗ ἀπὸ τῆς φιλίας, ἣ



Ε.Λ.Ε.Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

τὰς φίλους μίαν ψυχὴν ἐν διαφόροις σώμασιν εἶναι ἐθέλουσα, χολῇ γ' ἂν φίλον παρὰ φίλου ἀδικεῖσθαι ἀνάσχοιτο. καὶ πρὸς τὸ ἀκραιφνὲς τῶν ἑτέρων ἐπαινουμένης φιλίας τὰ ἐκείνου παραβάλλωμεν, συνάγοντες οἷον ἀπᾴδουσι. Καὶ ἀπὸ τοῦ ἀσυμφόρου. ἵνα τῇ γένηται φήσομεν, καὶ οἷον καρπώσαιτο τις περὶ φίλους ἀδικίας, τὸ χρήσιμον, ὅτι μὴ τὸ μηκέτι πιστεύεσθαι τοῦ λοιποῦ λέγοντες, καὶ πρὸς φιλίαν ἀχρεῖος λογίζεσθαι. Τέλος δὲ, οἷς παρὰ τῶν δυσμενεστάτων, ἢ ὠμοτάτων πεπόνθασιν ἄνθρωποι τὰ ἐκείνου παρεικάσωμεν, ὧν μέντοι καὶ μείζονα συναγαγεῖν πειρασώμεθα. Ἐπιλόγῳ δὲ χρησώμεθα, ἢ ἀπειλοῦντι τοῖς ἴσοις ἀμείψεσθαι, ἢ δεινοπαθοῦντι, ἢ ἄλλως πως ἀντιτείνοντι.

## Ὑπόδειγμα.

Οὕτω τοῖς φίλοις ὑπουργοῦσιν οἱ φίλοι; τοιαύταις τοὺς εὐνοοῦντας ἀμείβονται χάρισιν; εὖγε ὡς ἀπέχω τὴν χάριν. καὶ πῶς οὐκ ᾐδέσθης, ἣν σαυτῷ προσήκειν νομίζεις δόξαν, ἀνδρὸς δῆθεν σπουδαίου, καὶ παιδείας τὰ πρῶτα φέροντος, ἀλλ' ὅλας συγκροτῶν θεατροσκοπίας ὕβρεσιν ἐντρυφᾶς γραμμάτων τῶν πρὸς ἐμοῦ, παρερμηνεύων ταῦτα κατὰ τὸ δοκοῦν; καὶ τοῖς πολλοῖς παρέχων εἰς τὰς κατ' ἐμοῦ βλασφημίας ἔφοδον; καίτοι γ' ἐχρῆν, εἴ τί που καὶ παρημέληται, μάλιστα μὲν κατέχειν ἀνέκπυστον, ἢν δὲ μὴ, ἀλλὰ γοῦν ἀνεπίληπτον πειρᾶσθαι δεικνύναι, ὅπερ ἦν εὐνοοῦντος. μὴ ὅτι καὶ τῶν κειμένων καλῶς προσκατηγορεῖν ἀναιτίως, ὃ καὶ τῶν ἀλόγων ἐστὶν ἀλογωτέρου φρονήματος ἔλεγχος· κἀκείνοις γάρ που ἐνυπάρχει παρὰ τῆς φύσεως φιλεῖν τε τὰ ὁμοειδῆ, καὶ σαί-

νειν

νειν φιλοφρονεῖται καὶ τιθασσεύεσθαι. Σὺ δὲ καὶ φύσεως ὑπερλελάκτικας ὅρους, καὶ φιλίας ἀπώσω θεσμοὺς, οἳ τοὺς φίλους μηδ᾽ ἐννοεῖν τὸ παράπαν κατ᾽ ἀλλήλων ἀνέχονται. καὶ ταύτῃ γίνεσθαι καταφανὴς ἐφιλοτιμήσω, πράττων, καὶ λέγων, ὅσα φέρει πρὸς λοιδορίαν τῶν φίλων, ὃ καὶ διαφερούσης ἐστὶ μοχθηρίας. περιουσία γὰρ κακίας ἐς ταῦτα προσάγει, ἃ κἂν Σίσυφος ὤκνησε, κἂν παρῃτήσαντο Κύκλωπες, οὓς ἀθεμίστους εἶδε καὶ ὑπερφιάλους ἡ ποίησις. οὐδὲ γὰρ ἂν ὁ Πολύφημος τοὺς Ὀδυσσέως ἐλυμήνατο φίλους, εἰ μὴ τὰ ἐς θοίνην αὐτῷ ἐχρησίμευεν. σοὶ δὲ χρηστὸν μὲν ἄλλο ἐκ τούτων οὐδὲν περιέσεσθαι, καὶ μάλα σαφῶς οἶδα, ὅτι μὴ τὸ πᾶσι γενέσθαι ἐν πονηρίᾳ περίβλεπτον, καὶ κακὸν ὥσπερ δυσάντητον ἀποτροπιάζεσθαι.

## Ἀπάντησις πρὸς τὸν Κατηγορικόν.

Ἡ πρὸς τὸν Κατηγορικὸν ἀπάντησις, καὶ ἀπολογητικὸς χαρακτὴρ λέγοιτ᾽ ἄν. Ἔστι δ᾽ ἀπολογία (ὡς τῷ Ἀριστοτέλει ὥρισται) ἁμαρτημάτων, ἢ ἀδικημάτων κατηγορηθέντων, ἢ καθυποπτευθέντων διάλυσις, ἣν καὶ τριπλῇ μεθόδῳ συνεστάναι φησὶν ὁ αὐτός. Ἢ γὰρ ἀποδεικτέον τῷ ἀπολογουμένῳ, ὡς οὐδὲν τὸ παράπαν τῶν κατηγορουμένων ἔδρασεν, ὃ πίστεσι ταῖς ἀτέχνοις κατάδηλον παραστήσει, καὶ τοῖς ἐντέχνοις ἐπιχειρήμασιν. Αἱ μὲν οὖν ἄτεχνοι πίστεις, ἢ ὅρκοι εἰσὶν, ἢ συγγράμματα, μάλιστα δὲ μαρτυρίαι, ἃς ἀπὸ τῶν αὐτοψεὶ θεασαμένων, ἢ ἄλλως αἰσθομένων προενεγκεῖν δέον. Τῶν δὲ ἐκ τῆς τέχνης ἐπιχειρημάτων, εὐπορήσει τριχῶς, ἢ ἀπὸ τοῦ ἐγκλήματος, καὶ τῶν ἐκείνῳ περιστατικῶν, ἢ ἀπὸ τῆς ἰδίας ἀναγωγῆς

καὶ ἐπιεικείας, ὡς οὐδέποτε τοιαῦτα πεποιηκὼς ἐφωράθη, ἀλλὰ καὶ τοὺς ἐπιχειρήσαντας ἀπέπεισεν, ἢ ἀπὸ τῆς μοχθηρίας τῶν κατηγορησάντων, ὅτι φθόνῳ, ἢ μίσει ἡττώμενοι ταῦτα προπετῶς, καὶ ἐκθέσμως ἐσκευωρήκασιν. Εἰ δὲ οὐκ ἔστιν ὅλως λαθεῖν, ἀλλὰ τὸ πραχθὲν δίκαιον, ἔννομον, συμφέρον τῇ τε πόλει κοινῇ, καὶ ἰδίᾳ τοῖς φίλοις, καὶ αὐτῷ μάλιστα τῷ ἐγκαλοῦντι, εἴπως ἐνδέχεται ἀποδείξει· ὃ καὶ ἐμπεδώσει ἔκτε παραδειγμάτων, εἴποτέ τις τοιοῦτον, ἢ ὅμοιον πεποιηκὼς εὐδοκίμησε. καὶ ἐκ τῶν ἄλλων περιστατικῶν, ἐξ οἵας γνώμης ἐπράχθη λέγων, καὶ ὁπηνίκα, καὶ ὑπὲρ ὅτου, καὶ τὰ ὁμοιότροπα. Ἢν δὲ τὸ πραχθὲν ἀδίκημα προφανὲς ᾖ, καὶ μᾶλλον ἢ ὑπὸ τῆς τῶν λόγων διπλόης περικρυφθῆναί τε καὶ μεταμορφωθῆναι, ἐπὶ τὴν συγγνώμην καταφευκτέον· τάς τε αἰτίας εἰς τύχην, εἰς ἔνδειαν, εἰς ὀργὴν, ἔρωτα, καὶ τὰ τοιαῦτα, ἀνακτέον. καὶ ὅλως ὅτι οὐκ ἐκ προνοίας οὐδ' ἑκόντι πεπρᾶχθαι δεικνῦναι πειρατέον. τὸ δὲ τοιοῦτον οὐ τῷ πράξαντι ἴδιον, ἀλλὰ καὶ αὐτῷ δὴ τῷ διώκοντι, καὶ πᾶσιν ἀνθρώποις κοινὸν ἀτύχημα. Πέρας δὲ καὶ παραδείγματα ἐκθετέον. ἐν οἷς οἱ τὰ παραπλήσια, ἢ καὶ δεινότερα πεπονθότες, λαμπρῶς ἅμα καὶ μεγαλοπρεπῶς περὶ τοὺς ὑπευθύνους ἐφιλανθρωπεύσαντο. τῆς τε συνήθους καλοκἀγαθίας καὶ ἐπιεικείας τὸν διώκοντα ὑπομνηστέον, καὶ εἰς συγγνώμην παρακλητέον.

## Ὑπόδειγμα.

Καὶ φιλίαν ἀδικεῖς οἷς δυσχεραίνεις, καὶ τὴν σαυτοῦ στερρότητα. τὴν μὲν, ὅτι πονηρὰς ὑπονοίας παραιτεῖται τὰς περὶ φίλους· σαυτὸν δὲ, οἷς ῥᾳδίως παράγει τὸ στερρὸν ζημιούμενος. τὸ δ' ἐμὸν,

ἴσως

ἴσως οὐδ᾽ ἐν λόγῳ μοίρᾳ παρὰ σοί. καίτοιγ᾽ ἐχρῆν, μηδ᾽ οὕτω φιλαιτίως ἔχειν πρὸς φίλους, καὶ τὰ παρ᾽ ἐκείνων κρίνειν προπετέστερον, ἢ ἀσφαλέστερον. Οὔτε γὰρ ἐξήνεγκα τὴν ἐπιστολὴν ἔγωγε, οὔτε παρεξηγησάμην, ὡς αὐτὸς περὶ ἐμοῦ τοπάσαι ἐτόλμησας· ἀλλ᾽ ἀφῃρέθην καὶ μὴ βουλόμενος ὑπὸ τῶν πρώτως αἰσθομένων τὰ γράμματα. ἅπερ αὐτοί τ᾽ ἀναγνόντες, ἐπ᾽ αὐτὰ καὶ τοὺς ἄλλους ἐκάλουν. οἱ δὲ, ἢ τάχους εἶχον ἐπὶ τὴν θέαν ἔθεον, ὡς ἐπὶ τοὺς ἀμφὶ τὸν Ὀδυσσέα οἱ Κίκωνες· καὶ θέατρον ἐντὸς ὀλίγου ὁλόκληρον ἦν, τῶν θαυμαζόντων τὰ γράμματα. Ἆρα παρὰ τοῦτο ἀδικεῖν σοι δοκῶ; οὐκ οἶμαι. ἀλλ᾽ οὐδὲ εἰ καὶ ἑκὼν εἶναι ἐξήνεγκα. τοὐναντίον γὰρ ἂν ἀδικοίην, εἴ σοι τηλικαύτης εὐφημίας ἐφθόνησα μὴ ἐξενεγκών. Εἰ δέ τις ἔλαθε παρεισδὺς μετὰ τῶν συνδραμόντων καὶ Πάρδαλις, ὃς ῥηματίου τινὸς ἐπειλημμένος, τὸν ὑγιαίνοντα νοῦν κακοήθως ἐσπάραξε, καίτι προσθεὶς παρ᾽ ἑαυτοῦ τυχὸν πονηρὸν ἀπείδω καὶ ἄτοπον, οὐκ ἐμὸν τοῦτο, οὔτε κωλῦσαι, οὔτε μὴν τὴν ἀρχὴν εἰδέναι. παντὶ γὰρ ὑπὸ λίθῳ Σκορπιὸς εὕδει φασί. Τί οὖν τούτων ἄφιλον ἢ κακόηθες, ἐγὼ μὲν οὐχ ὁρῶ. αὐτὸς εἶπε τὸ λυποῦν· καὶ ὃς ἐπῆρε τοιαῦτα κατ᾽ ἐμοῦ βλασφημεῖν. ἀλλ᾽ οὐχ ἕξεις. Μὴ οὖν κρῖνε μηδὲν ἀδικοῦντα. τὸ γὰρ μὴ κινεῖν ἠρεμοῦντα, καὶ ἡ παροιμία παιδεύει. ἄλλως τε καὶ τὸ τοῦ Αἰνείου παντίπου ῥᾷστον. ὁποῖον κ᾽ εἴπησθα ἔπος, τοῖον καὶ ἐπακούσαις.

## Περὶ Μεμπτικοῦ χαρακτῆρος.

Μέμψις ἐστὶν ἀμελοῦντος τοῦ καθήκοντος κατηγορία. Μεμπτικὸς δὲ τύπος ἐπιστολῶν, ᾧπερ οἱ φίλοι χρῶνται ἐγκαλοῦντες τοῖς φίλοις, τῷ καθήκου-

θηκόντων ἀμελοῦσι φιλίας· ἢ ὡς ψευδομένοις τὰς ὑποσχέσεις· ἢ ὡς μὴ ἀντιφιλοῦσιν. ἢ ὡς ἀμνήμοσι παλαιᾶς συνηθείας, μηδ᾽ ἀντεπιστέλλουσιν ὡς εἰκὸς φίλοις· ἢ ὡς ἀσυμπαθέσι, καὶ ἀμειλίχοις. καὶ τὰ τοιαῦτα. Διαφέρει δὲ τοῦ κατηγορικοῦ, τά τε ἄλλα, καὶ τὸ μηδὲ ἐναγώνιον εἶναι ὡς ἐκεῖνος, μήτε πικρῶς καθάπτεσθαι τῶν ἡμαρτηκότων· ἀλλὰ προσηνέστερον ἐμφαίνειν τὰς πρὸς φίλους μεμψιμοιρίας. χαριεντισμοῖς τε καὶ σκώμμασι τὰ πολλὰ χαίρων, καὶ πρὸς τὸ εὐτράπελον ἀποκλίνων. Θαυμάσαι δὲ ἔξεστι τὴν ἀρχὴν καὶ οἷον ἐπαπορῆσαι, τί ἂν εἴη τὸ ποιῆσαν ἀμελῆσαι τοῦ καθήκοντος τὸν φίλον, τὰς δὲ πίστεις τῆς μέμψεως, ἔκ τε τοῦ πράγματος καὶ τῶν προσώπων ληπτέον, καὶ ἐκ τῶν ἄλλων περιστατικῶν. Βραχεῖ δ᾽ ἐπιλόγῳ χρησόμεθα, ἐς φιλίαν τὸν φίλον ἐνάγοντι, καὶ τὴν προτέραν διάθεσιν.

## Ὑπόδειγμα.

Ποῖ δὲ συνθεσίαι τε καὶ ὅρκια πιστὰ βήσεται ἡμῖν; ταῦτα μὲν Ὀδυσσεῖ περὶ Ἑλλήνων εἴρηται· ἐμοὶ δὲ μᾶλλον εἰρῆσθαι προσήκει περὶ σοῦ. αἱ γὰρ ἐκείνων ὑποσχέσεις, κυλίκων ἔργον ἦν, ἃς εἶχέ τινα συγγνώμην καὶ ψεύσασθαι. τὰς δὲ παρὰ σοῦ οὐ κύλικες, ἀλλ᾽ ὁ μακρὸς χρόνος, καὶ ἡ πολυετὴς πεῖρα ἐδόκει ἐν ἀσφαλεῖ καθεστάναι. δι᾽ ἣν οὐκ οἶδα, εἰ χρὴ σὲ μᾶλλον τῆς ἀπάτης, ἢ ἐμαυτὸν τῆς πίστεως μέμψασθαι. Χρόνον οὐ μικρόν με κατεῖχες, ἐφ᾽ ᾧ μοι συναπάραις Ἀθήναζε. προὔπεμψας ὡς αὐτίκα λέγων ἑψόμενος, ἀλλ᾽ οὐδὲ γραμμάτων ἠξίωσας ἀντὶ σαυτοῦ. δὶς καὶ τρὶς ἐπεκαλέσαμεν, καὶ παρὰ σοῦ πλέον οὐδέν. τίνες φιλίας φέρου-

ΙΩΑΝΝΙΝΑ 2006

ρουσι ταῦτα θεσμοί; πῶς ἀνδρὶ στερρῷ τὴν διάνοιαν προσήκοντα; πῶς ἤθους φιλοσόφου, οἷον σαυτὸν ἐπαγγέλλῃ; οἱ τὸν φίλον ἄλλον ἑαυτὸν εἶναι βούλονται, καὶ οἷς πάντα παθεῖν καὶ ποιῆσαι τοῦ ψεύσασθαι ἐστιν αἱρετώτερον; σὺ δ' ἀλλ' ἴσως μετὰ τῶν ἄλλων ἐπελάθου καὶ φιλοσοφίας, τὸ δὲ πλέον, ὅτι καὶ σαυτοῦ. ἀτεχνῶς γὰρ τὸ ὁμηρικὸν ἐκεῖνο, Ἀλλοῖός μοι νῦν φαίνῃ ἢ ἐπάροιθεν. εἰ γάρ τι καὶ ἦν τὸ κωλῦον εἰς ἔργον τὰς ὑποσχέσεις ἀγαγεῖν, ἀλλὰ γράμμασιν ἀσπάσασθαι οὐδὲν ἂν ἦν ἐμποδών. εἰ δὲ τὴν πρὸς ἐμὲ φιλίαν ἀπειπεῖν ἔγνως, αὐτὸ γοῦν ἀλλὰ τοῦτο δήλωσον ἐπιστείλας.

## Περὶ Ὀνειδιστικοῦ.

Ὄνειδος εἶναι λέγεται εὐεργετημάτων προφορὰ ἐπὶ ἐλέγχῳ ἀχαριστίας. Ὀνειδιστικὸς δὲ τύπος ἐπιστολῶν, ᾧ χρώμεθα, τοὺς φίλους ἐλέγξαι βουλόμενοι, ὡς χάριτος καὶ εὐεργεσίας ἀμνήμονας. ἀλλ' ὁ πρὸς φίλους ἔλεγχος, οὐχ οὕτως ἐστὶν ἐπιτεταμμένος, ὡς ἐν ταῖς κατηγορίαις παρὰ τοῖς Ῥήτορσι τεχνιτεύεται, ἀλλ' ἀνειμένος, ὅτι πρὸς φίλους, ἵνα μὴ τὴν φιλίαν ζημιωθῶμεν. Ἀχάλαι μὲν οὖν ἔξεστιν ἐν ἀρχῇ, καὶ οἷον δεινοπαθῆσαι τῷ παρ' ἐλπίδας πραχθέντι παρὰ τοῦ φίλου· αὐτὸ δὲ τὸ πραχθὲν ἐντέχνως ὡς οἷόν τε πρὸ ὀφθαλμῶν ἐκθήσωμεν, τὰ πρὸς ἡμῶν ἐκείνῳ εὐεργετημένα ἀναμνήσαντες. καὶ δόξῃ τῇ ἐκείνου, καὶ παιδείᾳ, ἢ εὐγενείᾳ, καὶ τοῖς τοιούτοις ἀνάξιον τὸ πραχθὲν δείξωμεν. Τελευταῖον δὲ, καὶ παραδείγμασιν, ἐξ ὧν ἔπαθον ἕτεροι παρὰ μὴ φίλων, μηδὲ εὐεργετηθέντων αὐξήσωμεν. Εἶτα βραχεῖ ἐπιλόγῳ εἰς μνήμην τῶν εὐεργετημάτων παρακαλέσωμεν, καὶ τῶν πλημμεληθέντων διόρθωσιν. ἔξεστι δὲ, καὶ ἄνευ ἐπιλόγου χρήσασθαι τῷ τοιῷδε τύπῳ, ἡνίκα πικρότερον τὸ ἐν ἡμῖν πάθος ἐμφανίσαι βουλώμεθα.

## Ὑπόδειγμα.

Ἆρα τοσοῦτον δύνανται τύχαι; ἆρα τοσοῦτον μεταβάλλουσι γνώμας ἀξίαις Νικόβουλος καταπεφρόνηται Γρηγορίῳ, καὶ τίς ἂν ἄλλος ἔσται παρὰ φίλοις αἰδέσιμος; τίς μνήμων χαρίτων τῶν παρὰ φίλων, εἴγε Νικοβούλου ἐπιλήσεται ὢν Γρηγόριος; ὃν ἐγὼ οὐδὲ θανόντα τῶν πρὸς ἐμοῦ εὐεργετημάτων ἐπιλαθέσθαι ἤλπιζον; Ἀλλ' αὐτὸς ὦ γενναῖε μόλις ὅ φασιν ἄκρῳ δακτύλῳ τοῦ περὶ τὴν ἀρχὴν ὄγκου ἀπογεύσασθαι ἔφθης, καὶ οὐ μόνον φίλων ἐπελάθου ἴσως πάλαι, ἀλλὰ καὶ τῶν μάλιστα εὐηργετηκότων σε, οὓς οὕτω σου τῆς μνήμης ἀπέβαλες, ὡς μηδὲ ὄντας τὸ παράπαν ἡγῇ. Συνέστη σοι παρ' ἐμοῦ Δημόφιλος, ὃν ᾤμην ἂν καὶ παμπονήρων ἐδεῖτο, τῶν αἰτουμένων δι' ἐμὲ τυχεῖν παρὰ σοῦ. σὺ δὲ τοιαῦτα ἐμοῦ κατωλιγώρησας. ὡς οὐδὲ κἂν ὅτι δικαίων ἐδεῖτο, δι' αὐτὸ τοῦτο ὑποδοχῆς ἀξιοῦσθαι παρὰ σοί. οἷα δὴ καὶ προσῆκε, τῷ, εἰ μὴ φίλῳ, ἀλλὰ γοῦν δικαίῳ κριτῇ. τοιαῦτα παρὰ σοῦ προσεδόκουν ἐγώ; οὕτως οἱ φίλοι τοὺς εὐεργετοῦντας ἀμείβονται; ταῦτα κἂν Φάλαρις ᾤκνησε, κἂν Διονύσιος ὁ ἐπὶ τυραννικῇ βεβοημένος ὠμότητι. πῶς ἐπελάθου τῶν χρόνων, καθ' οὓς ἐνετρύφας εὐεργεσίαις ταῖς σφῶ' ἐμοῦ; πῶς ἀμνημονεῖς τῶν κινδύνων, ἐξ ὧν πολλάκις σέσωκα; ἆρα σου τῆς μνήμης ἀπερρύησαν αἱ περὶ τοσούτων καὶ τηλικούτων ὑποσχέσεις; ἢ σοὶ τούτων μικρὰ γοῦν ἔτι περιμένει τῇ φαντασίᾳ ἰνδάλματα; καίτοι νῦν εἴπερ ποτὲ ἐξῆν διαλῦσαι τὰ πρὸς φίλους ὀφλήματα, ὅτε καὶ παρὰ τῆς τύχης τὸ δύνασθαι ἔλαχες. Ἀλλ' ἐπαινῶ τὸν εἰπόντα, κρίνει φίλους ὁ καιρὸς ὡς χρυσὸν τὸ πῦρ.

Τέλος τῶν ἐπιστολικῶν τύπων.

ΕΠΙ-

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006